Isocrate, *Panégyrique*, 47-50

Φιλοσοφίαν τοίνυν,
ἣ πάντα ταῦτα συνεξεῦρε
καὶ συγκατεσκεύασεν
καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσεν
καὶ πρὸς ἀλλήλους ἐπράϋνε
καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλεν
καὶ τὰς μὲν φυλάξασθαι,
τὰς δὲ καλῶς ἐνεγκεῖν
ἐδίδαξεν,
ἡ πόλις ἡμῶν κατέδειξεν,
καὶ λόγους ἐτίμησεν,
ὧν πάντες μὲν ἐπιθυμοῦσιν,
τοῖς δ' ἐπισταμένοις φθονοῦσιν,
συνειδυῖα μὲν
ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζῴων ἴδιον ἔφυμεν ἔχοντες
καὶ διότι τούτῳ πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν,
ὁρῶσα δὲ
περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας
ὥστε πολλάκις ἐν αὐταῖς
καὶ τοὺς φρονίμους ἀτυχεῖν
καὶ τοὺς ἀνοήτους κατορθοῦν,
τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων οὐ μετὸν τοῖς φαύλοις,
ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔργον ὄντας,
καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας,
ἔτι δὲ τοὺς εὐθὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους
ἐκ μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκομένους,
ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γιγνομένους,
καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου πιστότατον ἀποδεδειγμένον,
καὶ τοὺς λόγῳ καλῶς χρωμένους
οὐ μόνον ἐν ταῖς αὑτῶν δυναμένους,
ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας.
Τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους,
ὥσθ' οἱ ταύτης μαθηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασιν,
καὶ τὸ τῶν Ἑλλήνων ὄνομα πεποίηκεν μηκέτι τοῦ γένους,
ἀλλὰ τῆς διανοίας δοκεῖν εἶναι,
καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας
ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.